ΚΡ. μάλιστα· κἀπίμπρας γ᾽ Ἐρεχθέως δόμους.
ΙΩΝ. ποίοισι πανοῖς ἢ πυρὸς ποίᾳ φλογί;
ΚΡ. ἔμελλες οἰκεῖν τἄμ᾽, ἐμοῦ βίᾳ λαβών. 1295
ΙΩΝ. κἄπειτα τοῦ μέλλειν μ᾽ ἀπέκτεινες φόβῳ; 1300
ΚΡ. ὡς μὴ θάνοιμί γ᾽, εἰ σὺ μὴ μέλλων τύχοις.
ΙΩΝ. φθονεῖς ἄπαις οὖσ᾽, εἰ πατὴρ ἐξεῦρέ με.
ΚΡ. σὺ τῶν ἀτέκνων δῆτ᾽ ἀναρπάσεις δόμους; 1303
ΙΩΝ. πατρός γε γῆν διδόντος ἣν ἐκτήσατο. 1296
ΚΡ. τοῖς Αἰόλου δὲ πῶς μετῆν τῆς Παλλάδος;
ΙΩΝ. ὅπλοισιν αὐτήν, οὐ λόγοις ἐρρύσατο.
ΚΡ. ἐπίκουρος οἰκήτωρ γ᾽ ἂν οὐκ εἴη χθονός. 1299
ΙΩΝ. ἡμῖν δέ γ᾽ ἀλλὰ πατρικῆς οὐκ ἦν μέρος; 1304
ΚΡ. ὅσ᾽ ἀσπὶς ἔγχος θ᾽· ἥδε σοὶ παμπησία. 1305
ΙΩΝ. ἔκλειπε βωμὸν καὶ θεηλάτους ἕδρας.
ΚΡ. τὴν σὴν ὅπου σοι μητέρ᾽ ἐστὶ νουθέτει.
ΙΩΝ. σὺ δ᾽ οὐχ ὑφέξεις ζημίαν, κτείνουσ᾽ ἐμέ;
ΚΡ. ἤν γ᾽ ἐντὸς ἀδύτων τῶνδέ με σφάξαι θέλῃς.
ΙΩΝ. τίς ἡδονή σοι θεοῦ θανεῖν ἐν στέμμασι; 1310
ΚΡ. λυπήσομέν τιν᾽, ὧν λελυπήμεσθ᾽ ὕπο.
ΙΩΝ. φεῦ.
δεινόν γε, θνητοῖς τοὺς νόμους ὡς οὐ καλῶς
ἔθηκεν ὁ θεὸς οὐδ᾽ ἀπὸ γνώμης σοφῆς·
τοὺς μὲν γὰρ ἀδίκους βωμὸν οὐχ ἵζειν ἐχρῆν,
ἀλλ᾽ ἐξελαύνειν· οὐδὲ γὰρ ψαύειν καλὸν 1315
θεῶν πονηρὰν χεῖρα· τοῖσι δ᾽ ἐνδίκοις
ἱερὰ καθίζειν, ὅστις ἠδικεῖτ᾽, ἐχρῆν,
καὶ μὴ ᾽πὶ ταὐτὸ τοῦτ᾽ ἰόντ᾽ ἔχειν ἴσον
τόν τ᾽ ἐσθλὸν ὄντα τόν τε μὴ θεῶν πάρα.
ΠΥ. ἐπίσχες, ὦ παῖ· τρίποδα γὰρ χρηστήριον 1320
λιποῦσα θριγκοῦ τοῦδ᾽ ὑπερβάλλω ποδὶ
Φοίβου προφῆτις, τρίποδος ἀρχαῖον νόμον

---

1293. κἀπίμπρας B κἀπίμπρας γ᾽ C 1294. πανοῖς] Musgravius, πτανοῖς B πτανοῖς (δαλοῖς) C 1295. λαχών (β) libri. 1300—3. transposuit Nauckius. 1296. τε B τε (γε) C 1304. πατρικῆς Musurus, πρι γῆς libri. 1314. ἕζειν B ἵζειν C